πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις καὶ μιμεῖσθαι τὰς τίτθας,
αἵτινες ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν
πάλιν τὸν μαστὸν ὑπέχουσι. δεῖ δ' αὐτοὺς μηδὲ τοῖς ἐγκω-
μίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς
τῶν ἐπαίνων καὶ θρύπτονται.

**13.** Ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν
τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. τί δ' ἐστιν ὃ βούλομαι λέγειν; B
[ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω τὸν λόγον;] σπεύ-
δοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι πόνους
αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐκπίπτουσι,
καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν
μάθησιν εὐηνίως. ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι
τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ
τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ' ὑπερβάλλουσι
βαπτίζεται. δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν
πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ
σπουδὴν διῄρηται. καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις ἀλλὰ C
καὶ ὕπνος εὑρέθη, οὐδὲ πόλεμος ἀλλὰ καὶ εἰρήνη, οὐδὲ χειμὼν
ἀλλὰ καὶ εὐδία, οὐδ' ἐνεργοὶ πράξεις ἀλλὰ καὶ ἑορταί. συν-
ελόντι δ' εἰπεῖν ἡ ἀνάπαυσις τῶν πόνων ἐστὶν ἄρτυμα. καὶ οὐκ
ἐπὶ τῶν ζῴων μόνων τοῦτο ⟨ἂν⟩ ἴδοι τις γινόμενον, ἀλλὰ
καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν,
ἵν' ἐπιτεῖναι δυνηθῶμεν. καθόλου δὲ σῴζεται σῶμα μὲν ἐν-
δείᾳ καὶ πληρώσει, ψυχὴ δ' ἀνέσει καὶ πόνῳ.

ἄξιον δ' ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς
καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς αὐτοὶ τῆς τούτων
μαθήσεως οὔτ' αὐτόπται γίγνονται τὸ παράπαν οὔτ' αὐτήκοοι,
πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. αὐτοὺς γὰρ παρ' ὀλίγας D
ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς